# Πρὸς Τίτον

Παῦλος, δοῦλος θεοῦ, ἀπόστολος δὲ Ἰησοῦ χριστοῦ, κατὰ πίστιν **1**
ἐκλεκτῶν[1] θεοῦ καὶ ἐπίγνωσιν[2] ἀληθείας τῆς κατ’ εὐσέβειαν,[3] ἐπ’ 2
ἐλπίδι ζωῆς αἰωνίου, ἣν ἐπηγγείλατο[4] ὁ ἀψευδὴς[5] θεὸς πρὸ χρόνων
αἰωνίων, ἐφανέρωσεν δὲ καιροῖς ἰδίοις τὸν λόγον αὐτοῦ ἐν κηρύγματι 3
ὃ ἐπιστεύθην ἐγὼ κατ’ ἐπιταγὴν[7] τοῦ σωτῆρος[8] ἡμῶν θεοῦ, Τίτῳ[9] 4
γνησίῳ[10] τέκνῳ κατὰ κοινὴν[11] πίστιν: χάρις, ἔλεος,[12] εἰρήνη ἀπὸ θεοῦ
πατρός, καὶ κυρίου Ἰησοῦ χριστοῦ τοῦ σωτῆρος[8] ἡμῶν.

Τούτου χάριν[13] κατέλιπόν[14] σε ἐν Κρήτῃ,[15] ἵνα τὰ λείποντα[16] 5
ἐπιδιορθώσῃ,[17] καὶ καταστήσῃς[18] κατὰ πόλιν πρεσβυτέρους, ὡς ἐγώ
σοι διεταξάμην:[19] εἴ τίς ἐστιν ἀνέγκλητος,[20] μιᾶς γυναικὸς ἀνήρ, 6
τέκνα ἔχων πιστά, μὴ ἐν κατηγορίᾳ[21] ἀσωτίας[22] ἢ ἀνυπότακτα.[23] Δεῖ 7
γὰρ τὸν ἐπίσκοπον[24] ἀνέγκλητον[20] εἶναι, ὡς θεοῦ οἰκονόμον:[25] μὴ
αὐθάδη,[26] μὴ ὀργίλον,[27] μὴ πάροινον,[28] μὴ πλήκτην,[29] μὴ
αἰσχροκερδῆ,[30] ἀλλὰ φιλόξενον,[31] φιλάγαθον,[32] σώφρονα,[33] δίκαιον, 8
ὅσιον,[34] ἐγκρατῆ,[35] ἀντεχόμενον[36] τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ 9

[1] ἐκλεκτός, chosen, elect. [2] ἐπίγνωσις, εως, ἡ, knowledge, discernment. [3] εὐσέβεια, ας, ἡ, godliness, piety. [4] ἐπαγγέλλομαι, promise, profess. [5] ἀψευδής, unable to lie, truthful. [6] κήρυγμα, τος, τό, proclamation, preaching. [7] ἐπιταγή, ῆς, ἡ, command, commandment. [8] σωτήρ, ῆρος, ὁ, savior, deliverer. [9] Τίτος, ου, ὁ, Titus. [10] γνήσιος, genuine, true. [11] κοινός, common, unclean. [12] ἔλεος, ους, ὁ, pity, mercy. [13] χάριν, in favor of, for the pleasure of. [14] καταλείπω, leave, leave behind. [15] Κρήτη, ης, ἡ, Crete. [16] λείπω, leave, leave behind. [17] ἐπιδιορθόω, set right, correct in addition. [18] καθίστημι, set, constitute. [19] διατάσσω, command, give orders to. [20] ἀνέγκλητος, above reproach, blameless. [21] κατηγορία, ας, ἡ, accusation, charge. [22] ἀσωτία, ας, ἡ, dissipation, debauchery. [23] ἀνυπότακτος, not subject to rule, rebellious. [24] ἐπίσκοπος, ου, ὁ, superintendent, overseer. [25] οἰκονόμος, ου, ὁ, manager, steward. [26] αὐθάδης, self-willed, stubborn. [27] ὀργίλος, inclined to anger, quick tempered. [28] πάροινος, ου, ὁ, addicted to wine, drunken. [29] πλήκτης, ου, ὁ, bully, contentious person. [30] αἰσχροκερδής, greedy of base gain, avaricious. [31] φιλόξενος, hospitable. [32] φιλάγαθος, loving what is good. [33] σώφρων, self-controlled, sensible. [34] ὅσιος, righteous, pious. [35] ἐγκρατής, self-controlled, disciplined. [36] ἀντέχομαι, hold, hold fast.

λόγου, ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ[1] τῇ
ὑγιαινούσῃ,[2] καὶ τοὺς ἀντιλέγοντας[3] ἐλέγχειν.[4]

Εἰσὶν γὰρ πολλοὶ καὶ ἀνυπότακτοι,[5] ματαιολόγοι[6] καὶ φρεναπάται,[7] 10
μάλιστα[8] οἱ ἐκ περιτομῆς, οὓς δεῖ ἐπιστομίζειν·[9] οἵτινες ὅλους οἴκους 11
ἀνατρέπουσιν,[10] διδάσκοντες ἃ μὴ δεῖ, αἰσχροῦ[11] κέρδους[12] χάριν.[13] 12
Εἶπέν τις ἐξ αὐτῶν, ἴδιος αὐτῶν προφήτης, Κρῆτες[14] ἀεὶ[15] ψεῦσται,[16]
κακὰ θηρία, γαστέρες[17] ἀργαί.[18] Ἡ μαρτυρία αὕτη ἐστὶν ἀληθής.[19] Δι’ 13
ἣν αἰτίαν[20] ἔλεγχε[4] αὐτοὺς ἀποτόμως,[21] ἵνα ὑγιαίνωσιν[2] ἐν τῇ πίστει, 14
μὴ προσέχοντες[22] Ἰουδαϊκοῖς[23] μύθοις,[24] καὶ ἐντολαῖς ἀνθρώπων
ἀποστρεφομένων[25] τὴν ἀλήθειαν. Πάντα μὲν καθαρὰ[26] τοῖς καθαροῖς· 15
τοῖς δὲ μεμιασμένοις[27] καὶ ἀπίστοις[28] οὐδὲν καθαρόν·[26] ἀλλὰ
μεμίανται[27] αὐτῶν καὶ ὁ νοῦς[29] καὶ ἡ συνείδησις. Θεὸν ὁμολογοῦσιν[30] 16
εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται, βδελυκτοὶ[31] ὄντες καὶ ἀπειθεῖς[32] καὶ
πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι.[33]

Σὺ δὲ λάλει ἃ πρέπει[34] τῇ ὑγιαινούσῃ[2] διδασκαλίᾳ·[1] πρεσβύτας[35] **2**
νηφαλέους[36] εἶναι, σεμνούς,[37] σώφρονας,[38] ὑγιαίνοντας[2] τῇ πίστει, τῇ
ἀγάπῃ, τῇ ὑπομονῇ· πρεσβύτιδας[39] ὡσαύτως[40] ἐν καταστήματι[41] 3

[1] διδασκαλία, ας, ἡ, teaching, doctrine. [2] ὑγιαίνω, be in good health, am well. [3] ἀντιλέγω, speak against, oppose. [4] ἐλέγχω, convict, reprove. [5] ἀνυπότακτος, not subject to rule, rebellious. [6] ματαιολόγος, ου, ὁ, talking idly, and empty talker. [7] φρεναπάτης, ου, ὁ, deceiver, misleader. [8] μάλιστα, especially, most of all. [9] ἐπιστομίζω, silence, stop the mouth. [10] ἀνατρέπω, overturn, upset. [11] αἰσχρός, shameful, base. [12] κέρδος, ους, τό, gain, profit. [13] χάριν, in favor of, for the pleasure of. [14] Κρής, ητός, ὁ, Cretan. [15] ἀεί, always, ever. [16] ψεύστης, ου, ὁ, liar, deceiver. [17] γαστήρ, τρος, ἡ, belly, womb. [18] ἀργός, inactive, idle. [19] ἀληθής, true, unconcealed. [20] αἰτία, ας, ἡ, cause, reason. [21] ἀποτόμως, severely, rigorously. [22] προσέχω, take head of, attend to. [23] Ἰουδαϊκός, Jewish, Judaic. [24] μῦθος, ου, ὁ, fable, myth. [25] ἀποστρέφω, turn away, turn back. [26] καθαρός, clean, pure. [27] μιαίνω, stain, defile. [28] ἄπιστος, unbelieving, faithless. [29] νοῦς, ὁ, mind, reasoning faculty. [30] ὁμολογέω, confess, profess. [31] βδελυκτός, abhorrent, detestable. [32] ἀπειθής, disobedient, unbelieving. [33] ἀδόκιμος, not passing the test, rejected. [34] πρέπω, be clearly seen, be fitting. [35] πρεσβύτης, ου, ὁ, old man. [36] νηφαλέος, sober, temperate. [37] σεμνός, honorable, dignified. [38] σώφρων, self-controlled, sensible. [39] πρεσβῦτις, ιδος, ἡ, older woman, elderly lady. [40] ὡσαύτως, likewise. [41] κατάστημα, τος, τό, behavior, demeanor.

ἱεροπρεπεῖς,[1] μὴ διαβόλους, μὴ οἴνῳ πολλῷ δεδουλωμένας,[2]
καλοδιδασκάλους,[3] ἵνα σωφρονίζωσιν[4] τὰς νέας[5] φιλάνδρους[6] εἶναι, 4
φιλοτέκνους,[7] σώφρονας,[8] ἁγνάς,[9] οἰκουρούς,[10] ἀγαθάς, 5
ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν, ἵνα μὴ ὁ λόγος τοῦ θεοῦ
βλασφημῆται: τοὺς νεωτέρους[5] ὡσαύτως[11] παρακάλει σωφρονεῖν:[12] 6
περὶ πάντα σεαυτὸν παρεχόμενος[13] τύπον[14] καλῶν ἔργων, ἐν τῇ
διδασκαλίᾳ[15] ἀδιαφθορίαν,[16] σεμνότητα,[17] ἀφθαρσίαν,[18] λόγον ὑγιῆ,[19] 8
ἀκατάγνωστον,[20] ἵνα ὁ ἐξ ἐναντίας[21] ἐντραπῇ,[22] μηδὲν ἔχων περὶ
ἡμῶν λέγειν φαῦλον.[23] Δούλους ἰδίοις δεσπόταις[24] ὑποτάσσεσθαι, ἐν 9
πᾶσιν εὐαρέστους[25] εἶναι, μὴ ἀντιλέγοντας,[26] μὴ νοσφιζομένους,[27] 10
ἀλλὰ πίστιν πᾶσαν ἐνδεικνυμένους[28] ἀγαθήν, ἵνα τὴν διδασκαλίαν[15]
τοῦ σωτῆρος[29] ἡμῶν θεοῦ κοσμῶσιν[30] ἐν πᾶσιν. Ἐπεφάνη[31] γὰρ ἡ 11
χάρις τοῦ θεοῦ ἡ σωτήριος[32] πᾶσιν ἀνθρώποις, παιδεύουσα[33] ἡμᾶς ἵνα, 12
ἀρνησάμενοι τὴν ἀσέβειαν[34] καὶ τὰς κοσμικὰς[35] ἐπιθυμίας,
σωφρόνως[36] καὶ δικαίως[37] καὶ εὐσεβῶς[38] ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, 13
προσδεχόμενοι[39] τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν[40] τῆς δόξης τοῦ
μεγάλου θεοῦ καὶ σωτῆρος[29] ἡμῶν Ἰησοῦ χριστοῦ, ὃς ἔδωκεν ἑαυτὸν 14
ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται[41] ἡμᾶς ἀπὸ πάσης ἀνομίας,[42] καὶ

[1] ἱεροπρεπής, reverent. [2] δουλόω, enslave, bring under subjection. [3] καλοδιδάσκαλος, teaching what is good. [4] σωφρονίζω, encourage, advise. [5] νέος, new, young. [6] φίλανδρος, love for a husband. [7] φιλότεκνος, loving one's children. [8] σώφρων, self-controlled, sensible. [9] ἁγνός, pure, holy. [10] οἰκουρός, housekeeper. [11] ὡσαύτως, likewise. [12] σωφρονέω, be of sound mind, judgment. [13] παρέχω, offer, afford. [14] τύπος, ου, ὁ, mark, example. [15] διδασκαλία, ας, ἡ, teaching, doctrine. [16] ἀδιαφθορία, ας, ἡ, incorruptibility, soundness. [17] σεμνότης, ητος, ἡ, seriousness, dignity. [18] ἀφθαρσία, ας, ἡ, incorruptibility, immortality. [19] ὑγιής, whole, healthy. [20] ἀκατάγνωστος, beyond reproach, uncondemned. [21] ἐναντίος, opposite, hostile. [22] ἐντρέπω, turn about, reverence. [23] φαῦλος, worthless, bad. [24] δεσπότης, ου, ὁ, master, lord. [25] εὐάρεστος, well-pleasing, acceptable. [26] ἀντιλέγω, speak against, oppose. [27] νοσφίζω, rob, set apart. [28] ἐνδείκνυμι, show forth, show. [29] σωτήρ, ῆρος, ὁ, savior, deliverer. [30] κοσμέω, adorn, put into order. [31] ἐπιφαίνω, appear, shine. [32] σωτήριος, saving, bringing salvation. [33] παιδεύω, teach, educate. [34] ἀσέβεια, ας, ἡ, ungodliness, impiety. [35] κοσμικός, earthly, worldly. [36] σωφρόνως, soberly, sensibly. [37] δικαίως, righteously, justly. [38] εὐσεβῶς, in a godly manner, piously. [39] προσδέχομαι, receive, wait for. [40] ἐπιφάνεια, ας, ἡ, appearance, appearing. [41] λυτρόω, ransom, liberate. [42] ἀνομία, ας, ἡ, lawlessness, iniquity.

καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον,[1] ζηλωτὴν[2] καλῶν ἔργων.

Ταῦτα λάλει, καὶ παρακάλει, καὶ ἔλεγχε[3] μετὰ πάσης ἐπιταγῆς.[4] 15
Μηδείς σου περιφρονείτω.[5]

Ὑπομίμνησκε[6] αὐτοὺς ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι, πειθαρχεῖν,[7] 3
πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους[8] εἶναι, μηδένα βλασφημεῖν, 2
ἀμάχους[9] εἶναι, ἐπιεικεῖς,[10] πᾶσαν ἐνδεικνυμένους[11] πρᾳότητα[12] πρὸς
πάντας ἀνθρώπους. Ἦμεν γάρ ποτε[13] καὶ ἡμεῖς ἀνόητοι,[14] ἀπειθεῖς,[15] 3
πλανώμενοι, δουλεύοντες[16] ἐπιθυμίαις καὶ ἡδοναῖς[17] ποικίλαις,[18] ἐν
κακίᾳ[19] καὶ φθόνῳ[20] διάγοντες,[21] στυγητοί,[22] μισοῦντες ἀλλήλους. 4
Ὅτε δὲ ἡ χρηστότης[23] καὶ ἡ φιλανθρωπία[24] ἐπεφάνη[25] τοῦ σωτῆρος[26]
ἡμῶν θεοῦ, οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ὧν ἐποιήσαμεν ἡμεῖς, 5
ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον[27] ἔσωσεν ἡμᾶς, διὰ λουτροῦ[28]
παλιγγενεσίας[29] καὶ ἀνακαινώσεως[30] πνεύματος ἁγίου, οὗ ἐξέχεεν[31] 6
ἐφ᾽ ἡμᾶς πλουσίως,[32] διὰ Ἰησοῦ χριστοῦ τοῦ σωτῆρος[26] ἡμῶν, ἵνα 7
δικαιωθέντες τῇ ἐκείνου χάριτι, κληρονόμοι[33] γενώμεθα κατ᾽ ἐλπίδα
ζωῆς αἰωνίου. Πιστὸς ὁ λόγος, καὶ περὶ τούτων βούλομαί σε 8
διαβεβαιοῦσθαι,[34] ἵνα φροντίζωσιν[35] καλῶν ἔργων προΐστασθαι[36] οἱ

[1] περιούσιος, chosen, special. [2] ζηλωτής, οῦ, ὁ, Zealot, zealot. [3] ἐλέγχω, convict, reprove. [4] ἐπιταγή, ῆς, ἡ, command, commandment. [5] περιφρονέω, disregard, look down on. [6] ὑπομιμνήσκω, remind, remember. [7] πειθαρχέω, obey authority, obey one in authority. [8] ἕτοιμος, ready, prepared. [9] ἄμαχος, uncontentious, peaceable. [10] ἐπιεικής, yielding, gentle. [11] ἐνδείκνυμι, show forth, show. [12] πρᾳΰτης, mildness, gentleness. [13] ποτέ, once, at some time. [14] ἀνόητος, foolish, thoughtless. [15] ἀπειθής, disobedient, unbelieving. [16] δουλεύω, serve, am a slave. [17] ἡδονή, ῆς, ἡ, pleasure, lust. [18] ποικίλος, varied, manifold. [19] κακία, ας, ἡ, malice, evil. [20] φθόνος, ου, ὁ, envy, grudge. [21] διάγω, spend one's life, live. [22] στυγητός, hateful, loathsome. [23] χρηστότης, ητος, ἡ, goodness, kindness. [24] φιλανθρωπία, ας, ἡ, (loving) kindness, love for mankind. [25] ἐπιφαίνω, appear, shine. [26] σωτήρ, ῆρος, ὁ, savior, deliverer. [27] ἔλεος, ους, ὁ, pity, mercy. [28] λουτρόν, οῦ, τό, bath, washing. [29] παλιγγενεσία, ας, ἡ, renewal, rebirth. [30] ἀνακαίνωσις, εως, ἡ, renewal, renewing. [31] ἐκχέω, pour out, shed. [32] πλουσίως, richly, abundantly. [33] κληρονόμος, ου, ὁ, heir, inheritor. [34] διαβεβαιόομαι, speak confidently, insist. [35] φροντίζω, be intent on, be careful about. [36] προΐστημι, rule.

πεπιστευκότες θεῷ. Ταῦτά ἐστιν τὰ καλὰ καὶ ὠφέλιμα[1] τοῖς
ἀνθρώποις: μωρὰς[2] δὲ ζητήσεις[3] καὶ γενεαλογίας[4] καὶ ἔρεις[5] καὶ μάχας 9
νομικὰς[7] περιΐστασο:[8] εἰσὶν γὰρ ἀνωφελεῖς[9] καὶ μάταιοι.[10] Αἱρετικὸν 10
ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν[12] παραιτοῦ,[13] εἰδὼς ὅτι 11
ἐξέστραπται[14] ὁ τοιοῦτος, καὶ ἁμαρτάνει, ὢν αὐτοκατάκριτος.[15]

Ὅταν πέμψω Ἀρτεμᾶν[16] πρός σε ἢ Τυχικόν,[17] σπούδασον[18] ἐλθεῖν πρός 12
με εἰς Νικόπολιν:[19] ἐκεῖ γὰρ κέκρικα παραχειμάσαι.[20] Ζηνᾶν[21] τὸν 13
νομικὸν[7] καὶ Ἀπολλὼ[22] σπουδαίως[23] πρόπεμψον,[24] ἵνα μηδὲν αὐτοῖς
λείπῃ.[25] Μανθανέτωσαν[26] δὲ καὶ οἱ ἡμέτεροι[27] καλῶν ἔργων 14
προΐστασθαι[28] εἰς τὰς ἀναγκαίας[29] χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι.[30]

Ἀσπάζονταί σε οἱ μετʼ ἐμοῦ πάντες. Ἄσπασαι τοὺς φιλοῦντας[31] ἡμᾶς ἐν 15
πίστει.

Ἡ χάρις μετὰ πάντων ὑμῶν. Ἀμήν.

[1] ὠφέλιμος, useful, profitable. [2] μωρός, foolish, stupid. [3] ζήτησις, εως, ἡ, debate, controversy. [4] γενεαλογία, ας, ἡ, genealogy. [5] ἔρις, ιδος, ἡ, strife, contention. [6] μάχη, ης, ἡ, fight, conflict. [7] νομικός, pertaining to the law. [8] περιΐστημι, stand around, avoid. [9] ἀνωφελής, unprofitable, useless. [10] μάταιος, vain, useless. [11] αἱρετικός, factious, causing division. [12] νουθεσία, ας, ἡ, admonition, instruction. [13] παραιτέομαι, make excuse, refuse. [14] ἐκστρέφω, turn aside, pervert. [15] αὐτοκατάκριτος, self-condemned. [16] Ἀρτεμᾶς, ᾶ, ὁ, Artemas. [17] Τυχικός, οῦ, ὁ, Tychicus. [18] σπουδάζω, hasten, be eager. [19] Νικόπολις, εως, ἡ, Nicopolis. [20] παραχειμάζω, winter, pass the winter. [21] Ζηνᾶς, ᾶν, ὁ, Zenas. [22] Ἀπολλῶς, ὁ, Apollos. [23] σπουδαίως, with haste, diligently. [24] προπέμπω, send before, send forth. [25] λείπω, leave, leave behind. [26] μανθάνω, learn, ascertain. [27] ἡμέτερος, our, our own. [28] προΐστημι, rule. [29] ἀναγκαῖος, necessary, essential. [30] ἄκαρπος, unfruitful, barren. [31] φιλέω, love, kiss.